ΔΙ. ἀλλ᾽ ἐξιχνεύσουσίν σε, κἂν ἔλθῃς λάθρᾳ.
ΠΕ. ἀλλ᾽ ἐμφανῶς· καλῶς γὰρ ἐξεῖπας τάδε.
ΔΙ. ἄγωμεν οὖν σε κἀπιχειρήσεις ὁδῷ;
ΠΕ. ἄγ᾽ ὡς τάχιστα, τοῦ χρόνου δέ σοι φθονῶ.
ΔΙ. στεῖλαί νυν ἀμφὶ χρωτὶ βυσσίνους πέπλους.
ΠΕ. τί δὴ τόδ᾽; ἐς γυναῖκας ἐξ ἀνδρὸς τελῶ;
ΔΙ. μή σε κτάνωσιν, ἢν ἀνὴρ ὀφθῇς ἐκεῖ.
ΠΕ. εὖ γ᾽ εἶπας αὖ τόδ᾽· ὥς τις εἶ πάλαι σοφός.
ΔΙ. Διόνυσος ἡμᾶς ἐξεμούσωσεν τάδε.
ΠΕ. πῶς οὖν γένοιτ᾽ ἂν ἅ σύ με νουθετεῖς καλῶς;
ΔΙ. ἐγὼ στελῶ σε δωμάτων ἔσω μολών.
ΠΕ. τίνα στολήν; ἦ θῆλυν; ἀλλ᾽ αἰδώς μ᾽ ἔχει.
ΔΙ. οὐκέτι θεατὴς μαινάδων πρόθυμος εἶ;
ΠΕ. στολὴν δὲ τίνα φῂς ἀμφὶ χρῶτ᾽ ἐμὸν βαλεῖν;
ΔΙ. κόμην μὲν ἐπὶ σῷ κρατὶ ταναὸν ἐκτενῶ.
ΠΕ. τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου τί μοι;
ΔΙ. πέπλοι ποδήρεις· ἐπὶ κάρᾳ δ᾽ ἔσται μίτρα.
ΠΕ. ἦ καί τι πρὸς τοῖσδ᾽ ἄλλο προσθήσεις ἐμοί;
ΔΙ. θύρσον γε χειρὶ καὶ νεβροῦ στικτὸν δέρας.
ΠΕ. οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν,
⟨ἄρσην πεφυκὼς καὶ γένους ἐξ ἄρσενος.⟩
ΔΙ. ἀλλ᾽ αἷμα θήσῃ συμβαλὼν βάκχαις μάχην.
ΠΕ. ὀρθῶς· μολεῖν χρὴ πρῶτον ἐς κατασκοπήν.
ΔΙ. σοφώτερον γοῦν ἢ κακοῖς θηρᾶν κακά.
ΠΕ. καὶ πῶς δι᾽ ἄστεως εἶμι Καδμείους λαθών;
ΔΙ. ὁδοὺς ἐρήμους ἴμεν· ἐγὼ δ᾽ ἡγήσομαι.
ΠΕ. πᾶν κρεῖσσον ὥστε μὴ ᾽γγελᾶν βάκχας ἐμοί.
ΔΙ. ἐλθόντ᾽ ἐς οἴκους . . . . . . . . . . . . . . . . . . . .
ΠΕ. . . . . . . . . . . . . . . . . . . ἂν δοκῇ βουλεύσομαι.
ΔΙ. ἔξεστι· πάντῃ τό γ᾽ ἐμὸν εὐτρεπὲς πάρα.